UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

Aquane an ignis sit utilior

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

Ii autem, qui aerem & aquam frigida se cognouisse aiunt, terram negant: respiciunt ad proximam terram, aere, spiritibus, aqua, & calore plenam mixturam atque congeriem. Nihil verò differunt ab iis, qui non ætherem primo & natura calidum, sed aquam feruentem aut candens ferrum pronunciant: quòd hæc tangunt & contrectant, primum purum cœlestemque ignem non sentiunt: vt hi quoque terram in imo latentem non vident, quæ maxime terra intelligenda est, ab omnibus aliis secreta. Cuius tamen indicium etiam hæc sunt saxa, quæ è profundo magnum & toleratu difficile frigus emittunt. Qui autem potum frigidiorem facere volunt, ij silices in aquam iniiciunt. fit enim spissior, & vis eius intenditur frigore quod à lapidibus recens & sincerum in eam emittitur. Veteres ergo sapientes ac doctos censendum est statuisse cœlestia terrestribus non permisceri: non quòd velut in trutina ad inferiora loco & superiora respexerint, sed ad facultatum differentiam. quippe calida, splendida, velocia, leuia, immortali ac sempiternæ naturæ adscripserunt: tenebrosa, frigida, tarda, mortalium & inferorum sortem parum beatam arbitrantes. Quando corpus etiam animalis dum spirat, & (vt poeta ait) viret, tantisper etiam calore vitaque fruitur: his priuatum, & iam solis terrestribus restantibus partibus, statim frigore & gelu corripitur. scilicet quod in quauis potius quàm terrena re secundum naturam calor insit. Hæc tu, Phauorine, cum iis compone, quæ ab aliis sunt dicta. quæ si non multum vincant vincanturque probabilitate, valere iube opiniones, & existima, Philosophi magis esse in rebus dubiis assensionem cohibere, quàm aliquid tanquam certum probare.

A πνεύματος μὲν αἰσθάνεσθαι ψυχροῦ καὶ ὕδατος, γῆς δ᾽ ἧττον
οἰόμενοι, τὴν ἔγγιστα γῆν ὁρῶσιν ἀέρων καὶ ὑδάτων καὶ ἡλίου καὶ
θερμότητος ἀνάπλεων σύμμιγμα καὶ συμφόρημα γε-
γενημένην. καὶ οὐδὲν διαφέρουσι τῶν μὴ τὸν αἰθέρα φύσει
καὶ πρώτως θερμὸν, ἀλλὰ τὸ ζέον ὕδωρ ἢ τὸν διάπυρον σί-
δηρον ἀποφαινομένων· ὅτι τούτων μὲν ἅπτονται καὶ προσ-
τυγχάνουσι, τοῦ δὲ πρώτου καθαροῦ καὶ οὐρανίου πυρὸς αἴ-
σθησιν δι᾽ ἁφῆς οὐ λαμβάνουσιν, ὥσπερ οὐδὲ τοῦ ἐν βάθει
γῆς, ἣν μάλιστα γῆν ἄν τις νοήσειεν αὐτὴν καθ᾽ αὑτὴν
ἀποκεκριμένην τῶν ἄλλων. δεῖγμα δ᾽ αὐτῆς ἐστι κἀνταῦθα
B περὶ τὰς πέτρας. πολὺ γὰρ ἐκ βάθους καὶ οὐ ῥᾴδιον ἀνασχέ-
σθαι προσβάλλουσι κρύος. οἱ δὲ ψυχρότερον ποτοῦ δεόμενοι,
χάλικας ἐμβάλλουσιν εἰς τὸ ὕδωρ. γίνεται γὰρ οὐλότερον, καὶ
στομοῦται παρὰ τὴν ἀπὸ τῶν λίθων ψυχρότητα, πρόσφατον
καὶ ἄκρατον ἀναφερομένην. τοὺς οὖν πάλαι σοφοὺς καὶ
λογίους ἄμικτα θέσθαι τὰ ἐπίγεια καὶ τὰ οὐράνια χρὴ νο-
μίζειν, οὐ τοῖς τόποις, ὥσπερ ἐπὶ ζυγοῦ, πρὸς τὰ κάτω καὶ
ἄνω βλέποντας, ἀλλὰ τῇ διαφορᾷ τῶν δυνάμεων, τὰ μὲν
θερμὰ καὶ λαμπρὰ, ταχέα καὶ κοῦφα, τῇ ἀθανάτῳ καὶ
ἀϊδίῳ φύσει προσνέμοντας, τὰ δὲ σκοτεινὰ καὶ ψυχρὰ καὶ
C βραδέα, φθιτῶν καὶ ἐνέρων οὐκ εὐδαίμονα κλῆρον ἀποφή-
ναντας. ἐπεὶ καὶ τὸ σῶμα τοῦ ζώου μέχρι μὲν ἔμπνουν ἐστὶ καὶ
θαλερὸν, (ὡς οἱ ποιηταὶ λέγουσι) θερμότητι χρῆται καὶ ζωῇ·
γενόμενον δὲ τούτων ἔρημον, καὶ ἀπολειφθὲν ἐν μόνῃ τῇ τῆς γῆς
μοίρᾳ, ψυχρότης εὐθὺς ἴσχει καὶ κρύος, ὡς ἐν παντὶ μᾶλλον
ἢ τῷ γεώδει κατὰ φύσιν θερμότητος ἐνυπαρχούσης. ταῦτα ὦ
Φαβωρῖνε τοῖς εἰρημένοις ὑφ᾽ ἑτέρων παράβαλλε· κἂν μήτε
λείπηται τῇ πιθανότητι, μήτε ὑπερέχῃ πολὺ, χαίρειν ἔα
τὰς δόξας, τὸ ἐπέχειν ἐν τοῖς ἀδήλοις τοῦ συγκατατίθεσθαι
φιλοσοφώτερον ἡγούμενος.

D

## PLVTARCHI, Aquáne, an ignis sit vtilior.

PINDARVS pronunciauit, aquam esse rerum optimam, aurum autem flagrantem ignem. is ergo palam posteriorem locum igni assignauit. Adstipulatur huic Hesiodus, ita scribens:

*Principio factum Chaos est.*

nam voce Chaos plerique eum existimant expressisse aquam ob diffussionem, quæ est Græcis chysis. Cæterum testium in vtranq; partem æqualia sunt momenta. Sunt enim qui ignem vniuersi principiũ esse pronunciant, eumq; tanquã semẽ & gignere ex sese omnia, & in se facta conflagratione recepturũ. Omissis itaque autoribus, rationes ipsas consideremus in vtram nos partem inclinent. Nonne autem id vtilius est, quo semper continenterq; indigemus, & quidem plurimo? quomodo supellex, aut instrumentum, atque adeo amicus aliis præfertur, qui nobis quauis hora & ad quasuis occasiones vtendi præsto est. Atque ignis non semper vtilis est: & aliquando eum moleste ferimus atque amolimur. Aquæ & hyeme & æstate, tam sanis quàm ægrotis, noctu

## ΠΛΟΥΤΑΡΧΟΥ, ΠΕΡΙ τοῦ πότερον ὕδωρ ἢ πῦρ χρησιμώτερον.

ΑΡΙΣΤΟΝ μὲν ὕδωρ, ὁ δὲ χρυσὸς, αἰθό-
μενον πῦρ, φησὶν ὁ Πίνδαρος· ὥστε ἐστὶ
μὲν δευτέραν ἄντικρυς τῷ πυρὶ χώραν
E ἔδωκε· συμφωνεῖ δὲ καὶ Ἡσίοδος, εἰπών, Ἤ-
τοι μὲν πρώτιστα χάος γένετο. τοῖς πλεί-
στοις γὰρ ὠνομακέναι δοκεῖ τὸ ὕδωρ τοῦτον τὸν
τρόπον παρὰ τὴν χύσιν· ἀλλὰ τὸ μὲν τῶν μαρτύρων ἑκάτερον
ἴσον. ἐπεὶ καὶ τὸ πῦρ εἰσὶν οἱ τοῦ παντὸς ἀρχὴν ἀποφαινόμε-
νοι, καὶ οἷον σπέρμα τοῦτο ἐξ ἑαυτοῦ τε πάντα ποιεῖν καὶ εἰς ἑαυτὸ
ἐκλαμβάνειν κατὰ τὴν ἐκπύρωσιν· ἀφέμενοι δὲ τῶν ἀνδρῶν,
σκεψώμεθα τοὺς εἰς ἑκάτερον λόγους πῇ μᾶλλον ἄγουσιν ἡ-
μᾶς. ἆρ᾽ οὖν οὐ χρησιμώτερον ἐκεῖνο οὗ πάντοτε καὶ διηνεκῶς
δεόμεθα καὶ πλείστου, καθάπερ ἐργαλεῖον καὶ ὄργανον, καὶ
F νὴ Δία φίλος ὁ πάσης ὥρας καὶ παντὸς καιροῦ παρὼν ἕτοι-
μος; καὶ μὴν τὸ μὲν πῦρ οὐ πάντοτε χρήσιμον, ἔστι δὲ ὅτε καὶ
βαρυνόμεθα καὶ ἀποσπώμεθα· τοῦ δ᾽ ὕδατος χρεία καὶ χειμῶ-
νος καὶ θέρους, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι, νυκτὸς καὶ μεθ᾽

ὃ δὲ τοὐναντίον, καὶ βλαβερόν ἐστιν, ἀπ' ἄλλης ἀρχῆς. πρὸς μὲν τὴν τοῦ πυρὸς ὡς πυρὸς χρῆσιν, ὕδατος οὐ προσδεόμεθα, ἀλλὰ τοὐναντίον ἐμποδὼν γίνεται (κατασβέννυσι γὰρ καὶ διαφθείρει) ὕδατος δὲ ταῖς πλείσταις χρήσεις οὐκ ἔστιν ἄνευ πυρός· θερμανθὲν γὰρ, ὠφελιμώτερον, οὕτω δὲ βλαβερόν· ὥστε δυεῖν ἄμεινον ὃ ἀφ' ἑαυτοῦ παρέχεται χρείαν, τοῦ ἑτέρου μὴ προσδεόμενον. ἔτι ὕδωρ μὲν μοναχῶς ὠφέλιμον κατὰ θίξιν, λουσαμένοις ἢ ἁψαμένοις· τὸ δὲ πῦρ, διὰ πάσης αἰσθήσεως. καὶ γὰρ διὰ τῆς ἁφῆς καὶ πόρρωθεν ὁρώμενον, ὥστε προσεῖναι τοῖς ἄλλοις τῆς χρείας αὐτοῦ, καὶ τὴν πολυτέλειαν. τὸ γὰρ λέγειν ὡς ἔστι ποτὲ ὁ ἄνθρωπος ἄνευ πυρὸς, οὐδὲ ὅλως δύναται γενέσθαι ὁ ἄνθρωπος, διαφοραὶ δέ εἰσιν ἐν γένει καθάπερ καὶ ἐν ἄλλοις. καὶ τὴν θάλατταν ἡ θερμότης ὠφελιμωτέραν ἐποίησεν, ὡς μᾶλλον καταφέρει τῶν ὑδάτων, ἐπεὶ καὶ αὐτὸ τῶν λοιπῶν οὐδὲν διέφερε. καὶ οἱ μὴ προσδεόμενοι δὲ τοῦ ἔξωθεν πυρὸς, οὐχ ὡς ἀπροσδεεῖς τοῦτο πάσχουσιν, ἀλλὰ περιουσίᾳ καὶ πλεονασμῷ τοῦ ἐν ἑαυτοῖς θερμοῦ. ὥστε καὶ κατὰ τοῦτο ὑπερέχειν τὴν τοῦ πυρὸς χρείαν, ὡς εἰκός. τὸ μὲν ὕδωρ οὐδέποτε τοιοῦτον ὥστε μὴ δεῖσθαι τῶν ἐκτὸς, τὸ δὲ πῦρ, ὑπ' ἀρετῆς πολλῆς, καὶ αὔταρκες. ὡς οὖν στρατηγὸς ἀμείνων ὁ παρασκευάσας τὴν πόλιν μὴ δεῖσθαι τῶν ἔξωθεν συμμάχων, οὕτω καὶ στοιχεῖον τὸ τῆς ἔξωθεν ἐπικουρείας παρέχον πολλάκις μὴ δεόμενον, ὑπερέχον. τοῦτο ῥητέον καὶ περὶ τῶν ἄλλων ζώων ὅσα μὴ προσδεῖται. καίτοι γε εἰς τοὐναντίον λάβοιμεν ἄν, τὸ χρησιμώτερον εἶναι τοῦτο ᾧ χρώμεθα μόνοι, καὶ μάλιστα τὸ βέλτιον ἐκ λογισμοῦ λαβεῖν δυνάμενοι. ἐπεὶ τί λόγου χρησιμώτερον ἢ μᾶλλον ἀνθρώποις λυσιτελέστερον; ἀλλ' οὐ πάρεστι τοῖς ἀλόγοις. τί οὖν διὰ τοῦτο ἧττον ὠφέλιμον ἐκ τῆς προνοίας τοῦ βελτίονος εὑρεθέν; ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, τί τέχνης τῷ βίῳ λυσιτελέστερον; τέχνας δὲ πάσας καὶ ἀνεῦρε τὸ πῦρ καὶ σώζει. διὸ καὶ τὸν Ἥφαιστον ἀρχηγὸν αὐτῶν ποιοῦσι· καὶ μὴν ὀλίγου χρόνου καὶ βίου τοῖς ἀνθρώποις δεδομένου, ὡς Ἀρίστων φησὶν, ὅτι ὁ ὕπνος οἷα τελώνης τὸ ἥμισυ ἀφαιρεῖ τούτου. ἐγὼ δὲ ἂν εἴποιμι ὅτι σκότος ἐγρηγόρειν ἀεὶ διὰ νυκτός· ἀλλ' οὐδὲν ὄφελος τῆς ἐγρηγόρσεως, εἰ μὴ τὸ πῦρ τὰ τῆς ἡμέρας ἡμῖν παρεῖχεν ἀγαθὰ, καὶ τὴν ἡμέρας καὶ νυκτὸς ἐξῄρει διαφοράν. εἰ τοίνυν τοῦ ζῆν οὐδὲν ἀνθρώποις λυσιτελέστερον, καὶ τοῦτο πολλαπλασιάζει τὸ πῦρ, πῶς οὐκ ἂν εἴη πάντων ὠφελιμώτατον; καὶ μὴν, οὗ πλείστου κρᾶσις ἡ τῶν αἰσθήσεων μετείληφε, τοῦτ' ἂν εἴη λυσιτελέστερον. οὐχ ὁρᾷς οὖν ὡς τῇ μὲν ὑγρᾷ φύσει οὐδεμία τῶν αἰσθήσεων καὶ αὐτὴν προσχρῆται, χωρὶς πνεύματος ἢ πυρὸς ἐγκεκραμένου; τοῦ δὲ πυρὸς ἅπασα μὲν αἴσθησις, οἷα τὸ ζωτικὸν ἐνεργαζομένου μετείληφεν, ἐξαιρέτως δὲ ἡ ὄψις, ἥ τις ὀξυτάτη τῶν διὰ σώματός ἐστιν αἰσθήσεων, πυρὸς ἔξαμμα οὖσα, καὶ ὅτι θεῶν πίστιν παρέσχηκεν, ἔτι τε ᾗ Πλάτων φησὶ, δυνάμεθα κατασχηματίζειν πρὸς τὰς τῶν ἐν τῷ οὐρανῷ κινήσεις τὴν ψυχὴν διὰ τῆς ὄψεως.

A Iã alio sumto initio sic ratiocinemur. Ad ignis, quatenus ignis est, vsum aqua nihil indigemus. immo aqua vsum ignis impedit, eumq; exstinguit atq; abolet. in plerisq; autem rebus aqua nisi igne adiuuante vsui non est. aqua enim calida aptior vsibus est, alioqui damnosa. Est verò inter duo illud vtilius, quod seorsim suos præbet vsus, neque altero indiget. His accedit, quod solo tactu vtilis est aqua lauantibus aut contrectantibus. Ignis per omnes sensus suam vtilitatem spargit. non solo tactu, sed procul etiam visus prodest. vt accedat reliquis eius vtilitatibus multitudo emolumentorum. Cæterum id falsum B est, quòd dicitur aliquos homines absque igni esse. in vniuersum enim carere eo nullus homo potest: discrimina in hoc genere, vt & aliis in rebus fatemur esse. Mare autem vt esset vtilius, à calore est cõsecutum: quoniam magis quàm aliæ aquæ à calore afficitur. pro se enim nihil à reliquis differebat aquis. Qui vero ignem foris adhiberi sibi non requirunt, non eo id faciunt, quod nihil opus habeant calore: sed ob abundãtiam insiti caloris hoc fit. vt hac quoque in parte ignis priores ferat: quandoquidem aqua nunquam ea est conditione vt nõ indigeat externis, virtus sua ignem seipso facit contentum. Sic- C vt ergo ducem præstantissimum censemus, qui vrbem ita instruit, vt externis non indigeat auxiliis: ita hoc quoque elementum dicemus potius, quod efficit, vt plerisq; in rebus extra nos nihil desideremus. Quod idem de aliis volo intelligi animalibus, quæ caloris externi non indigent. Et verò in contrariam sententiam sic possumus argumentari: Melius id esse, quo soli vtimur, eiusque bonitatem ratione percipimus. Alioqui ratione quid conducibilius est homini, quid vtilius? Dices: atqui eo carẽt bruta. quid, inquam? an propterea minus vtilis est, inuentus ex prouidentia vtilitatis. Denique quoniam huc nos D oratio deduxit, scire velim quid arti in conferendis ad vitam commoditatibus præstet aqua. Ignis verò & reperit omnes, & conseruat artes. itaque etiam Vulcanũ principem ac ducẽ artium faciunt. Dixit Aristo, temporis nobis ad vitam dati exigui somnũ quasi vectigalis exactorem dimidiam auferre partem. Ego autem sic dico: etiam si quis tenebris obtinentibus vigilaret per totam noctem, nullum fore huius vigiliæ fructum, nisi ignis bona nobis diei repræsentaret, noctisq; & diei discrimen aboleret. Itaque si nihil homo habet, cui ratione vtilitatis vitam postponat: ignis, qui vitam multiplicat, quomodo non mereatur omnibus anteferri rebus? Denique E cuius temperiẽ sensus omnes maxime participant, id haud dubie arbitrari debemus esse vtilissimum. Nonne autem animaduertis humore nullum per se vti sensum, nisi in eius temperie spiritus aut ignis sit admixtus? Omnis autẽ sensus igne, vtpote vitalem in generante facultatem, communicat: maxime omnium visus, qui acutissimus est sensuum corporis, ignea quædam natura exsiliens cum sit: & qui fidem nobis fecit esse deos. quò accedat, quod à Platone est dictum, visu animum hoc consequi, quòd cœlestium corporum conuersionibus sese potest accommodare.